Τȣτȣ εςι το μηδεν χρηματον ἑνεκα πραττειν. ειπε τε, τȣς μελλοντας ασφαλως τυραννησειν τῃ ευνοιᾳ δορυφορεῖσθαι, και μη τοις ὁπλοις. αἱ μεν ἡδοναι, φθαρται' ἁι δε τιμαι, αθανατοι. λογων αποῤῥητων εκφοραν μη ποιȣ͂. μη μονον τȣς ἁμαρτανοντας, αλλα και τȣς μελλοντας κολαζε. μελετη το παν.

ασφαλως, sicher, von σφαλλω, ich mache fallen, betrüge.
τυραννεω, ich herrsche.
ευνοια, freundliche Gesinnung, von νοος.
δορυφορεω, ich trage eine Lanze, 2) bin Wache, 3) beschütze, von δορυ und φερω.

φθαρ-

φθαρτος, vergänglich, von φθεω, φθειρω, ich verderbe.
εκφορα, das Austragen, 2) Verrätherey.
αμαρτανω, ich verirre, sündige.
κολαζω, ich strafe.
μελετη, Sorge, 2) Uebung, von μελει.

Anacharsis.

Frucht der Rebe, Straf der Unmäßigkeit.

Αναχαρσις την αμπελον εἶπε τρεῖς φερειν βοτρυς. τον πρῶτον, ἡδονης· τον δευτερον, μεθης· τον τριτον, αηδιας. ὑπο μειρακιȣ παρα ποτον ὑβρισθεις, εφη, μειραριον, εαν νεος ων τον οινον ȣ φερῃς, γερων γενομενος ὑδωρ οισεις. ερωτηθεις, πως ȣκ αν γενοιτο τις φιλοποτης; ει προ των οφθαλμων εχοι τας των μεθυοντων ασχημοσυνας.

αμπελος, Weinstock.
βοτρυς, υος, Traube.
μεθη, Trunkenheit, von μεθυ, υος, Wein.
αηδια, Trauer.
μειρακιον, Knab, 2) Stutzer, von μειραξ, κος.
ποτος, Trinkgelag, von πινω.

οισεις, von Φερω, Fut. 1.
Φιλοποτης, Weinfreund, Weintrinker.
ασχημοσυνη, häßliche Gestalt, 2) schändliches Betragen, von σχημα, τος, Gestalt.

Kritiker, Kämpferlohn, Vaterlandsstolz, Werth der Zunge, Erfindung.

Θαυμαζειν δε εφη, πως παρα τοις Ἑλλησιν αγωνιζονται μεν οἱ τεχνιται, κρινȣσι δε οἱ μη τεχνιται. και πως οἱ Ἑλληνες νομοθετȣ͂ντες κατα των ὑβριζοντων, τȣς αθλητας τιμῶσιν επι τῳ τυπτειν αλληλȣς. μαθων τετταρας δακτυλȣς ειναι το παχος της νεως, τοσȣτον, εφη, τȣ θανατȣ τȣς πλεοντας απεχειν. ονειδιζομενος ὑπο Αττικȣ, ὁτι Σκυθης εςιν, εφη· αλλ᾽ εμοι μεν ονειδος ἡ πατρις, συ δε της πατριδος. ερωτηθεις, τι εςιν εν ανθρωποις αγαθον τε και φαυλον; εφη, γλωσσα. ἑυρε δ᾽εις τον βιον αγκυραν τε, και κεραμιον τροχον.

Θαυμαζω, ich bewundere.
αγωνιζομαι, ich streite, von αγων, ωνος, Streit.

τεχνι-

τεχνιτης, ȣ, Künstler, von τεχνη, Kunst, 2) List.
ὑβριζω, ich bin stolz, 2) beleidige.
αθλητης, ȣ, Kämpfer, von αεθλος (contrahirt in αθλος,) Kampf, 2) Arbeit, 3) Noth.
τυπτω, ich schlage, stosse, verwunde.
τεσσαρες (attisch τετταρες) vier.
δακτυλος, oder δακτυλον, Finger.
παχος, εος, Dicke, 2) Dummheit.
τοσȣτος, τοσαυτη, τοσȣτο, so groß, so viel, von ὁσος, wie groß, wie viel.
πλεω, ich schiffe.
απεχω, ich habe, halte weg, 2) bin ferne.
ονειδιζω, ich schimpfe, von ονειδος, εος, Schimpf.
Σκυθης, Scythe.
Φαυλος, schlecht (in jeder Rücksicht).
αγκυρα, Anker.
κεραμικος, irden, töpfern, von κεραμιος Töpfererde.
τροχος, Scheibe, Rad, von τρεχω.

Epimenides.

Wunderbar langer Schlaf.

Επιμενιδης ποτε πεμφθεις παρα τȣ πατρος εις αγρον επι προβατον, της ὁδȣ κατα μεσημβριαν εκκλινας, ὑπ' αντρῳ τινι κα-

κατεκοιμηθη ἑπτα και πεντηκοντα ετη· διαναςας δε μετα ταυτα εζητει το προβατον νομιζων επ᾽ ολιγον κεκοιμῆσθαι. ὡς δε ουχ ἑυρισκε, παρεγενετο εις τον αγρον, και μετεσκευασμενα παντα καταλαβων και παρ᾽ ἑτερῳ την κτησιν, παλιν ἡκε εις αςυ διαπορουμενος. κἀκει δε εις την ἑαυτου εισιων οικιαν περιετυχε τοις πυνθανομενοις, τις ειη· ἑως τον νεωτερον αδελφον εὑρων τοτε ηδη γεροντα οντα πασαν εμαθε παρ᾽ εκεινου την αληθειαν.

προβατον, Vieh, 2) Schaf.
μεσημβρια, Mittag, von μεσος, und ἡμερα, Tag.
εκκλινω, ich weiche aus, irre, von κλινω.
αντρον, Höhle.
κατακοιμαομαι, ich werde eingeschläfert, von κοιμαω, ich mache schlafen.
διανιςημι, ich stehe wieder auf. Aor. 2.
μετασκευαζω, ich ändere das Geräth, von μετα, und σκευαζω, ich mache Geräth zusamm.
καταλαμβανω, ich ergreife, hole ein, 2) treffe an, 3) begreife sehr, von κτησις, εος, Besitz, von κταομαι.
παλιν, wieder, 2) zurück, 3) im Gegentheile.
αςυ, υος, Stadt.

δια-

διαπορεω, ich bin in Verlegenheit, von πειρω.
εισειμι, ich gehe hinein.
περιτυγχανω, ich treffe auf, von περι, und τυγχανω.

Erklärung.

Εισι δε, οἱ μη κοιμηθηναι αυτον λεγουσιν, αλλα χρονον τινα εκπατῆσαι, ασχολουμενον περι ῥιζοτομιαν.

εκπατεω, ich trette aus, gehe umher.
ασχολεομαι, bin beschäftigt, von σχολη.
ῥιζοτομια, Wurzelschneiderey, Kräuterlese, von ῥιζα, Wurzel.

Versöhnung, großmüthiger Eigennutz.

Γνωσθεις δε παρα τοις Ἑλλησι θεοφιλεστατος ειναι ὑπεληφθη. ὁθεν Αθηναιοις τῳ τε λιμῳ κατεχομενοις εχρησεν ἡ πυθια καθηραι την πολιν. οἱ δε πεμπουσι ναυν, καλοῦντες Επιμενιδην. και ὁς ελθων εκαθηρεν αυτῶν την πολιν, και επαυσε τον λιμον τουτον τον τροπον. λαβων προβατα μελανα τε και λευκα ηγαγε προς

τον Αρειον παγον. κἀκειθεν ειασεν ιεναι, ὁι βȣλοιντο, προσταξας τοις ακολȣθοις, ἐνθα αν κατακλινοι αυτων ἑκαςον, θυειν τῳ προσηκοντι θεῳ· και ȣτω ληξαιτο κακον. Αθηναιοι δε ταλαντον εψηφισαντο δȣναι αυτῳ, και ναυν την ες Κρητην απαξȣσαν αυτον. ὁ δε το μεν αργυριον ȣ προσηκατο. Φιλιαν δε και συμμαχιαν εποιησατο Κνωσσιων και Αθηναιων.

Θεοφιλος, von den Göttern geliebt.
ὑπολαμβανω, ich nehme auf, halte dafür.
λοιμος, Pest.
καθαιρω, ich reinige, 2) sühne aus, von κατα, und αιρεω.
Αρειος παγος, Marshügel, von Αρης, 2) Kurie der Athener.
εαω, ich lasse.
ὁι, wo, wohin.
ακολȣθος, Nachfolger, 2) Bediente, 3) Treiber.
θυω, ich schlachte ein Opfer.
ληγω, ich heiße aufhören, 2) höre auf.
Κνωσσιος, ein Gnossier.

Phe-

Pherekides.

Deutung.

Πολλα θαυμασια λεγεται περι αυτȣ. και γαρ παρα αιγιαλον περιπατȣ̃ντα, και ναυν ȣ̓ριοδρομȣσαν ιδοντα ειπειν, ὡς μετ' ȣ πολυ καταδυσεται, και εν οφθαλμοις αυτȣ καταδυναι. και ανιμηθεντος εκ Φρεατος ὑδατος, πιοντα, προειπει̃ν, ὡς εις τριτην ἡμεραν εσοιτο σεισμος· και γενεσθαι.

Θαυμασιος, wunderbar.
αιγιαλος, Ufer.
ȣ̓ριοτρεχω, ich laufe mit günstigen Winden, von ȣρος, günstiger Wind.
καταδυω, ich gehe hinab, von δυνω, δυω oder δυμι, ich gehe, 2) ziehe an.
ανιμαω, ich ziehe herauf, von ιμας, αντος, Riemen.
Φρεαρ, ατος, Brunn.
σεισμος, Bewegung, 2) Sturm.

Sieg bringender Tod.

Φησι δ' Ἑρμιππος, πολεμȣ συνεςω̃τος Εφεσιοις, και Μαγνησι, βȣλομενον, τȣς Εφεσιȣς νικη̃σαι, πυθεσθαι τινος παριον-

τος, ποθεν ειη, τε δ' ειποντος, εξ Εφεσιε, ἑλκυσον με τοινυν, εφη, των σκελῶν και θες εις την των Μαγνητων χωραν, και απαγγειλον σε τοις πολιταις, μετα το νικησαι αυτοθι με θαψαι. οἱ δε μετα μιαν ἡμεραν επελθοντες, κρατεσι των Μαγνητων, και τον τε Φερεκυδην μεταλλαξαντα θαπτεσιν αυτοθι, και μεγαλοπρεπως τιμῶσιν.

Ελκυω, ich ziehe, von ελκω.
σκελος, εος, Bein, Schienbein, Schenkel.
αυτοθι, eben daselbst.
μεταλλαττω, ich ändere, 2) verändere das Leben mit dem Tode (βιον Ellypſ.) von αλλαττω, ich ändere.

Anaxagoras.

Οὑτος ευγενειᾳ, και πλετῳ διαφερων ην, αλλα και μεγαλοφροσυνῃ, ὁς γε τα πατρῷα παρεχωρησε τοις οικειοις. αιτιαθεις γαρ ὑπ' αυτων, ὡς αμελῶν, τι εν, εφη, εχ ὑμεῖς επιμελεῖσθε; ὁτε και προς τον ειποντα εδεν σοι μελει της πατριδος; ευφημει, εφη, εμοι γαρ και σφοδρα μελει της πατριδος, δειξας τον ερανον.

ευγε-

ευγενεια, Adel.
μεγαλοφροσυνη, edle Denkungsart, Großmuth, von μεγας, λε, und φρην.
αιτιαομαι, ich klage an, von αιτια.
αμελων, sorglos, von μελει.
ευφημεω, ich rede Gutes.
σφοδρα, sehr, mächtig.

Vertheidigungsrede des Schülers für den Lehrer.

Ἑρμιππος εν τοις βιοις φησιν, ὁτι καθειρχθη εν τῳ δεσμωτηριῳ τεθνηξομενος. Περικλης δε παρελθων ειπεν, ει τι εχεσιν εγκαλειν αυτῳ κατα τον βιον; εδεν δε ειποντων, και μεν εγω, εφη, τετε μαθητης ειμι. μη εν διαβολαις επαρθεντες αποκτεινητε τον ανθρωπον, αλλ᾽ εμοι πεισθεντες αφετε· και αφειθη.

καθειργω, ich schließe tief ein, von ειργω.
δεσμωτεριον, Gefängniß, von δεω, ich binde.
εγκαλεω, ich klage an, rufe vor Gericht.
μαθητης, Schüler, von μανθανω.
διαβολη, Vorwurf, Verläumdung, v. βαλλω.
επαιρω, ich hebe in die Höhe, 2) bringe auf, reize zum Zorn.
αφιημι, ich entlasse.

Tod, Ursach des Knabenspieles.

Και τελος αποχωρησας εις Λαμψακον, αυτοθι κατεςρεψεν· Φαναι τȣς παιδας, εν ῳ αποθανῃ μηνι κατα ετος παιζειν συγχωρεῖν. και Φυλαττεται τȣ εθος και νυν. τελευτησαντα δη αυτον εθαψαν εντιμως οἱ Λαμψακηνοι.

Λαμψακος, Lampsakus.
καταςρεφω, ich kehre um, 2) sterbe.
εθος, εος, Gebrauch.

Sokrates.

Ein mächtiger Redner schenkt den Eltern gute Söhne, dem Vaterlande gute Staatsmänner, und Führer.

Σωκρατης εν ῥητορικοις δεινος ην· γινωσκων δε την Φυσικην θεωριαν μηδεν ειναι προς ἡμας, τα ηθικα Φιλοσοφειν ηρξε επι τε των εργαςηριων, και εν τῃ αγορᾳ. κᾀκεινα δε εφη ζητεῖν,

ὅ, ττι τοι εν μεγαροισι κακον τ᾽αγαθον τε τετυκται.

ἱκανος

ἱκανος δ'αμφοτερα ην και προτρεψαι, και αποτρεψαι. ὡςπερ τον Θεαιτητον περι επιςημης διαλεχθεις, ενθεον απεπεμψε. ευθυφρονα δε τῳ πατρι γραψαμενον ξενιας δικην, περι ὁσιȣ τινα διαλεχθεις απηγαγε. ενετρεψε δε και Λαμπροκλεα τον ὑιον τῃ μητρι αγριαινομενον. Γλαυκωνα μεν θελοντα πολιτευεσθαι, απεςησε δια το απειρως εχειν. χαρμιδην δε τȣναντιον επεςησεν οικειως εχοντα. επηρε δε και εις φρονημα Ιφικρατην τον ςρατηγον δειξας αυτῳ αλεκτρυονας τȣ κȣρεως Μιδȣ αντιον των Καλλιȣ πτερυξαμενȣς.

Ῥητορικος, die Redekunst betreffend, von ρεω.
δεινος, mächtig, 2) furchtbar, 3) unanständig.
ηθικος, sittlich, von ηθος, εος, gewöhnlicher Wohnsitz, 2) Charakter.
εργαςηριον, Werkstätte, von εργον.
κἀκεινα, von και, und εκεινος, η, ο, jener.
μεγαρον, grosses, beneidungswerthes Gebäude, von μεγαιρω, ich beneide.
τευχω, ich bereite, verfertige, Pass. Präter.
ἱκανος, tüchtig, 2) hinlänglich, mächtig, 3) groß, viel.

προ-

προτρεπω, ich kehre vor, 2) treibe an.
αποτρεπω, ich kehre weg, 2) mahne ab.
Θεαιτητος, Theätätus.
επιςημη, das Wissen, 2) Kenntniß, Weisheit.
ενθεος, von Gott begeistert.
αποπεμπω, ich schicke weg, entlasse.
Ευθυφρων, ονος, Euthyphron.
γραφομαι, 1. Aor. Med.
ξενια, das Fremde seyn, 2) nicht Bürger seyn, von ξενος, fremd, 2) Gastfreund.
ὁσιον, Pflicht gegen alles, was heilig ist, von ὁσιος, pflichtmäßig, 2) heilig.
απαγω, ich führe weg, 2) bringe ab (von dem Entschlusse.)
εντρεπω, ich kehre hinein, 2) mache, daß einer in sich geht, 3) beschäme.
αγριαινω, ich mache einen wild, zornig, von αγρος, Acker, 2) das bäurische wilde Betragen.
Γλαυκων, ωνος, Glaukon.
πολιτευομαι, ich lebe in einer Stadt, 2) verwalte Staatsangelegenheiten.
αφιςημι, ich stelle weg, 2) halte ab. 1. Aor.
απειρος, unerfahren, von πειρα, Versuch, 2) Beweis.
Χαρμιδης, Karmides.
τεναντιον statt το εναντιον, im Gegentheile, von αντι.
εφιςημι, ich setze hin, 2) setze über Etwas.
οικειως, häuslich, 2) vertraut, 3) geschickt.

Καλ-

Καλλιας, Kallias.

επαιρω, ich hebe auf, 2) treibe an, von αιρω, ich hebe in die Höhe.

Φρονημα, τος, Muth, 2) das Denken, 3) Stolz, von Φρην, ενος.

Ιφικρατης, Iphikrates.

ϛρατηγος, Heerführer, von ϛρατος, ȣ, Heer, und ηγεομαι, ich führe.

κυρευς, εως, Barbier, von κειρω.

Μιδας, Midas.

πτερυσσομαι, ich schlage die Flügel zusamm. 1. Aor. Med. von πτερον, Flügel.

Duldung, und Gelassenheit.

Λακτισθεις, επειδη ηνεσχετο, τινος θαυμασαντος, ειπε· ει δε με ονος ελακτισε, δικην αν αυτῳ ελαγχανον προς τον ειποντα, θανατον σȣ κατεγνωσαν, Αθηναιοι, κᾀκεινων, εφη, ἡ Φυσις. της γυναικος ειπȣσης, αδικως αποθνησκεις, συ δε, εφη, δικαιως εβȣλȣ; προς τον ειποντα, κακως ὁ δεῖνα σε λεγει· καλως γαρ εφη, λεγειν ȣκ εμαθε, ελεγε δε τοις κωμικοῖς δεῖν επιτηδες ἑαυτον διδοναι· ειμεν γαρ τι των προσοντων λεξειαν, διορθωσονται· ει δε ȣ, ȣδεν προς ἡμας. προς Ξανθιπ-

θιππην προτερον μεν λοιδορȣσαν, ὑϛερον δε και περιχεασαν αυτῳ, ȣκ ελεγον, ειπεν, ὁτι βροντῶσα και ὑδωρ ποιησει; προς Αλκιβιαδην ειποντα, ȣκ ανεκτη ἡ Ξανθιππη λοιδορȣσα, αλλ' εγωγ', εφη, συνειθεισμαι, καθαπερει και τροχηλεας ακȣων συνεχες. και συ μεν, ειπε, χηνων βοωντων ανεχῃ.

Λακτιζω, ich schlage mit den Füssen aus, 2) trette mit Füssen, von λαξ, mit den Fersen.

επειδη, oder επει, weil, 2) nachdem, 3) sonst.

ανεχομαι, ich halte mich zurück, 2) dulde, von εχω ich habe, und ανα. Imperf. in Med.

ονος, Esel, Eselinn.

λαγχανω, ich ziehe das Loos, 2) erlange, δικην λαγχανω, ich loose einem einen Processe, 2) klage an.

καταγινωσκω, ich erkenne wieder einen, 2) verdamme.

Φυσις, εως, was angebohren wird, 2) Natur, 3) Charakter, 4) Gestalt.

αδικως, ungerecht, von δικη.

αποθνησκω, ich sterbe dahin, von θνησκω, ich sterbe, Θανατος, Tod.

δικαιως, gerecht, 2) nach Verdienst.

προ-

ὁ δεινα, δεινος, δεινι, δεινα, ein Gewisser.

κωμικος, komisch, ein Lustspieler. Die alte Komedie war ganz Satyr, oft beissende Privatbeleidigung. Aristophanes satyrisirte auf der Bühne oft den Sokrates.

επιτηδες, mit Fleiß, Vorsatz von επιτηδης, εος.

διορθοω, ich richte ein, verbessere, von ορθος, gerade, recht.

Ξανθιππη, Xantippe, die Gattinn des Sokrates.

λοιδορεω, ich tadle, 2) schelte, von λοιδορος, Tadler, Lästerer.

περιχεω, ich beschütte um und um, von χεω.

βροντaω, ich donnere, von βροντη, Donner.

Αλκιβιαδης, Alkibiades.

ανεκτος, erträglich, von ανεχομαι.

εγωγε, Attisch, von εγω.

συνειθισμαι, ich bin an eine Sache ganz gewohnt, von εθιζομαι, ich gewöhne mich, oder εθος, εος, Gebrauch, Gewohnheit.

καθαπερ, καθαπερει, καθαπεραvει, wie, von κατα, περ, ει, und αν.

τροχηλια, eine knarrende Winde, 2) ein schnelles Rad, wo man das Wasser empor zieht, von τρεχω, ich laufe.

συνεχες, anhaltend, 2) stets, von εχω.

χην, ος, eine Gans.

βοαω, ich schreye laut, 2) schnattere ungestümm.

Der

Der uneigennützige Lehrer, Nothwendigkeit der Geometrie, Unterricht des Spiegels, wahrer Adel.

Αισχινου ειποντος, πενης ειμι, και αλλο μεν ουδεν εχω, διδωμι δε σοι εμαυτον· αρ' ουν, ουκ αισθανη τα μεγιστα μοι διδους; ποτε ερωτηθεις τις αρετη νεου; το μηδεν αγαν, ειπεν. εφασκε δεῖν γεωμετρεῖν, μεχρι αν τις μετρῳ δυνηται γην τε παραλαβεῖν και παραδοῦναι. ελεγε τε θαυμαζειν των τας λιθινους εικονας κατασκευαζομενων, του μεν λιθου προνοεῖν, ὡς ὁμοιοτατος εσται· αυτων δε αμελεῖν, ὡς μη ὁμοιους τῳ λιθῳ φαινεσθαι· ηξιου δε και τους νεους συνεχῶς κατοπτριζεσθαι, ἱν' ει μεν καλοι ειεν, αξιοι γιγνοιντο, ει δε αισχροι, παιδεια την δυσειδειαν επικαλυπτοιεν. και επῃνει σχολην, ὡς καλλιστον κτηματων. ελεγε δε και, ἑν μονον αγαθον ειναι, την επιστημην· και ἑν μονον κακον, την αμαθιαν. πλουτον δε και ευγενειαν ουδεν σεμνον εχειν· παν δε τουναντιον κακον.

Αι-

Αισχινης, Aeschines.

πενης, ητος, der durch Arbeit Nahrung verdient, 2) dürftig von πενομαι, ich arbeite, 2) bin dürftig.

εμαυτε, meiner selbst, von εμε, und αυτος.

αισθανομαι, Ich fühle, 2) verstehe sehr. Das Mittelwort steht hellenisch statt dem Infinitiv.

αρετη, Fertigkeit, 2) Wissenschaft, 3) Tugend ꝛc.

νεος, neu, 2) jung.

αγαν, zu viel.

το μηδεν αγαν, ut ne quid nimis. *Terent.*

Φασκω, ich sage, von Φαω, Φημι.

γεωμετρεω, ich messe die Erde, von μετρω, ich messe, und γη, die Erde, μετρον, Maaß.

παραλαμβανω, ich nehme auf, 2) empfange.

παραδιδωμι, ich übergebe.

κατασκευαζομαι, ich bereite zu, bearbeite, von σκευος, εος, Gefäß, 3) Geräth.

προνοεω, ich denke vorher, ich sorge, von νοος.

κατοπτριζομαι, ich besehe mich im Spiegel, von κατοπτρον, Spiegel, οπτομαι, ich sehe.

αξιοω, ich achte würdig, 2) glaube, 3) bitte. Imperf. von αξιος, würdig, 2) kostbar.

Bild=

Bildhauerkunst, Musik, und Tanz werden mit Weisheit gut verbunden.

Δȣλευσαι αυτον και εργασασθαι λιθȣς, ενιοι φασιν· ειναι τε αυτȣ και τας εν ακροπολει χαριτας, ενδεδυμενας ȣσας. αλλα και λυριζειν εμανθανεν, ὁτε καιρος. μηδεν λεγων ατοπον ειναι, ἁ τις μη οιδεν εκμανθανειν. ετι τε ωρχεῖτο συνεχες, τῃ τȣ σωματος ευεξιᾳ λυσιτελεῖν ἡγȣμενος την τοιαυτην γυμνασιαν.

Δȣλευω, ich diene als Sklav, 2) arbeite, von δȣλος, Sklav.
εργαζομαι, ich arbeite, verfertige, von εργον.
ακροπολις, die hohe Stadt, Burg, von ακρος, hoh.
ενδυω, ich gehe hinein, von δυω, δυνω, ich ziehe ein Kleid an.
λυριζω, ich leyere, von λυρα, Laute, Leyer.
καιρος, gelegne Zeit, 2) Maaß in jeder Sache.
ατοπος, am unrechten Orte, unschicklich, 2) ungewöhnlich.
ορχεω, ich bewege, ορχεομαι, ich werde bewegt, tanze.

ευε-

ευεξια, Wohlhabenheit, Gesundheit, von εχω, und ευ.

λυσιτελεω, ich kaufe los von Abgaben, 2) nütze von λυσις, εος, Auflösung, 2) Bezahlung, und τελος, Aufwand des Geldes.

γυμνασια, Uebung, von γυμνος, nackt. Die Faustkämpfer übten sich nackt, mit Oel begossen.

Vortheile der Genügsamkeit.

Εσεμνυνετο επι τῃ ευτελειᾳ, και ελεγεν, ἡδιςα εσθιων, ἡκιςα οψȣ προσδεῖσθαι· και ἡδιςα πινων, ἡκιςα το μη παρον ποτον αναμενειν· και ελαχιςων δεομενος, εγγιςα ειναι θεων· τȣς μεν αλλȣς ανθρωπȣς ζῆν, ἱν' εσθιοιεν· αυτον δε εσθιειν, ἱνα ζωῃ. καλεσας επι δειπνον πλȣσιȣς, και της Ξανθιππης αιδȣμενης, εφη, θαῤῥει· ει μεν γαρ ειεν μετριοι, συμπεριενεχθειεν αν· ει δε φαυλοι, ἡμιν αυτων ȣδεν μελησει. ευτακτος δε ην την διαιταν ȣτως, ὡςε πολλακις Αθηνῃσι λοιμων γενομενων, μονος ȣκ ενοσησε.

Σεμνυνω, ich mache ehrwürdig, halte hoch, von σεμνος, ehrwürdig, 2) prächtig.

ἥκιςα, am wenigsten, von ἥκιςος der kleinste, ἦκα, gelind, sanft.

οψον, Zukost, Gemüse.

ελαχυς, εια, υ, klein.

εγγιςα, am nächsten, von εγγυ, nahe.

ζαω, ich lebe, ζῆν, statt ζαειν.

δειπνον, ος, Abendmahl.

πλουσιος, reich, von Πλουτος, Gott des Reichthums, 2) Reichthum.

θαῤῥεω, θαρσεω, ich habe Muth, 2) bin sorgenfrey, von θαρσος, εος, Zutrauen, Muth.

μετριος, mäßig, von μετρον.

συμπεριφερομαι, ich werde zusammgetragen, 2) versammle mich.

ευτακτος, wohl gerodnet, 2) mäßig, von ταττω, ich ordne.

διαιτα, Lebensart, 2) Kost, 3) Zimmer.

ὥςε, 1) daß, 2) gleichwie, 3) deßwegen, von ὡς, und τε.

νοσεω, ich bin krank, von νοσος, Krankheit.

Verächter des Reichthums.

Αλκιβιαδε ποτε διδοντος αυτῳ χωραν μεγαλην, ἱνα οικοδομησηται οικιαν, εφη, και ει ὑποδηματων εδει, βυρσαν μοι εδιδες, ἱν' εμαυτῷ ὑποδηματα ποιησαιμην; και καταγελαστος αν ην λαβων. πολλακις δ' αφορῶν εις τα πληθη των πιπρασκομενων, ελεγε προς ἑαυτον, ποσων εγω χρειαν ȣκ εχω; και συνεχες εκεινα ανεφθεγγετο τα ιαμβεια,

τα δ' αργυρωματ' εστιν, ἡ τε πορφυρα
εις τȣς τραγῳδȣς χρησιμ', ȣκ εις τον βιον.

μελλοντι τε αυτῳ το κωνειον πιεσθαι, Απολλοδωρος ἱματιον εδιδȣ καλον, ἱν' εν εκεινῳ εναποθανῃ· και ὁς, τι δ', εφη, το ἑμον ἱματιον εμβιῶναι μεν επιτηδειον, εναποθανειν δε ȣχι;

Οικοδομεω, ich baue ein Haus, von δεμω, ich baue, und οικος.
ὑποδημα, ein Schuh, der den untern Fuß bindet, von δεω, ich binde, und ὑπο, unter.
βυρσα, Fell, Haut.

αφορασω, ich sehe zurück, 2) betrachte genau, von ὁρασω, ich sehe, und απο.
πιπρασκω, ich verkaufe, von περαω, ich führe hinüber, 2) verkaufe.
ποσος, wie groß, wie viel? von ὁσος.
χρεια, Gebrauch, 2) Nutzen, 3) Bedürfniß, 4) nothwendiges Geschäft, 5) Ausspruch, 6) jeder Auftritt.
αναφθεγγομαι, ich spreche immer und immer, von φθεγγομαι.
ιαμβειον, Jambus.
αργυρωμα, τος, Silbergeräthe, von αργυρος, Silber, 2) Geld.
πορφυρα, Purpurschnecke, 2) Purpur.
τραγῳδος, Tragödienspieler; auch 2) tragischer Dichter, von τραγος, Bock (der Preis des beßten Spieles) und αειδω, ich singe.
κωνειον, Schierling, giftiges Kraut, 2) Gift.
Απολλοδωρος, Apollodorus.
ἱματιον, Kleid, statt ειμα, τος, von εω, oder εννυμι, ich kleide an.
εναποθνησκω, ich sterbe darinn, von θανεω.
ὀχι, nicht?

Todsurtheil, werthes Andenken, Strafe des Klägers, Grabmaal.

Ἡ τ' αντωμοσια της δικης τουτον ειχε τον τροπον. ταδε εγραψατο Μελιτος Σωκρατει. αδικεῖ Σωκρατης, ὁυς μεν ἡ πολις νομιζει θεους, ου νομιζων, ἑτερα δε καινα δαιμονια εισηγουμενος· αδικεῖ δε και τους νεους διαφθειρων. τιμημα θανατος. κρινομενου δ' αυτου, φησιν Ιουςος, Πλατωνα αναβῆναι επι το βῆμα, και ειπεῖν, νεωτατος ων, ω ανδρες Αθηναιοι, των επι το βῆμα αναβαντων· τους δικαςας εκβοῆσαι καταβαντων, τουτ ἐςι καταβηθι. ότουν θανατον αυτου κατεγνωσαν, και δεθεις μετ' ου πολλας ἡμερας επιε το κωνειον, πολλα καλα καγαθα διαλεχθεις. Αθηναιοι δ' ευθυς μετεγνωσαν, ὡςε κλεισαι τας παλαιςρας και γυμνασια. Μελιτου μεν θανατον κατεγνωσαν. Σωκρατη δε χαλκῆς εικονος ετιμησαντο. ταυτα δε και τοιαυτα λεγων και πραττων προς της πυθιας εμαρτυρηθη.

Ανδρων ἁπαντων Σωκρατης σοφωτατος. εςι δε και ἡμῶν εις αυτον ἐτω.

πινε νυν εν Διος ων, ω Σωκρατες. ἦ σε
γαρ οντως
και σοφον ειπε Θεος, και Θεος ἡ
σοφιη.
προς γαρ Αθηναιων κωνειον απλῶς
μεν εδεξω.
αυτοι δε εξεπιον τȣτο τεῷ ςοματι.

αντωμοσια, Gegenschwur, von ομνυμι, ich schwöre.
ἑτερος, der andere.
καινος, neu, 2) abgeschmackt, 3) ungewöhnlich.
δαιμονιον, Genius, 2) Schicksal, 3) Gott, von δαιμων, ονος.
διαφθειρω, ich verderbe ganz, 2) verführe, von φθειρω, φθεω, φθιω, φθινω.
τιμημα, Schätzung, 2) Vermögen, 3) Strafe von τιω.
Ιȣςος, Justus.
Πλατων, ωνος, Plato.
αναβαινω, ich steige hinauf, καταβαινω, ich steige hernieder.
βῆμα, τος, Schritt, 2) Rednerbühne von βαινω, ich gehe.
εκβοαω, ich rufe aus.
καταγινωσκω, ich erkenne wieder, 2) beschließe gegen einen, verdamme.

μετα-

μεταγινωσκω, ich denke anders, 2) erkenne nachher, 3) fühle Reu.
κλειω, ich schließe, 2) rühme.
παλαιςρα, Ringschule, von παλη, das Ringen.
Πυθια, Pythia, die Orakelpriesterinn, von πυθω, ich mache faul, oder πυθων, ωνος, die aus Fäule gezeugte, und vom Apoll erlegte Schlange.
μαρτυρεω, ich lege ein Zeugniß ab.
ζευς, διος ꝛc. Jupiter. (Ellyps. μεγαροισιν).
οντως, in der That, dem Wesen nach, von ειμι.

Verachtung des Volksurtheiles.

Και ταυτα Σωκρατες προς Αλκιβιαδην. ὁ μεν εδεδιει πανυ σφοδρα εις τον δημον παρελθειν το μειρακιον. επιθαρσυνων δε αυτον, και εγειρων ὁ Σωκρατης, ου καταφρονεις (ειπεν) εκεινου του σκυτοτομου; το ονομα ειπων αυτου. Φησαντος δε του Αλκιβιαδου, ὑπολαβων παλιν ο Σωκρατης, ετι δε εκεινου (καταφρονεις) του εν τοις κυκλοις κηρυττοντος; η εκεινου του σκηνορραφου; ὁμολογουντος δε του μειρακιου, ουκουν, εφη ὁ Σωκρατης, ὁ δημος ὁ Αθηναιων εκ τοιουτων

 ηθροισαι

ηϑροισαι; και ει των καϑ᾽ ἑνα καταφρονεις, καταφρονητεον αρα και των ηϑροισμενων.

Μειρακιον, Jüngling, von μειραξ, κος.
επιϑαρσυνω, ich mache Muth, von ϑαρσος, εος, Zutrauen, 2) Muth.
εγειρω, ich richte auf, wecke auf, 2) ermuntere.
καταφρονεω, ich denke dagegen, 2) verachte, von φρην.
σκυτοτομος, ein Hautschneider, 2) Schuster, von σκυτος, εος, Haut, und τεμνω, ich schneide.
κυκλος, Cirkel, 2) Versammlung in einem Kreis, oder grossen Platz.
κηρυττω, ich rufe öffentlich aus, von κηρυξ, υκος, Herold.
σκηνορραφος, Zeltflicker, von σκηνη, oder σκηνος, εος, Zelt, und ῥαπτω, ich flicke, nähe.
ὁμολογεω, ich stimme mit ein, 2) bekenne öffentlich, 3) bin Bürge, von λεγω und ὁμος, ähnlich, gleich.
αϑροιζω, ich versammle, von αϑροος, gehäuft, dicht geschlossen.
αρα, deßwegen, αρα; wohl, etwa.

Eitler Stolz des Reichen.

Ορων ὁ Σωκρατης τον Αλκιβιαδην τετυφωμενον επι τω πλȣτω και μεγα φρονȣ̃ντα επι τοις αγροις, ηγαγεν αυτον εις τινα τοπον, ενθα ανεκειτο πινακιον, εχον γης περιοδον, και προσεταξε την Αττικην ενταυθα αναζητεῖν. ὡς δε ἑυρε, προσεταξε τȣς αγρȣς τȣς ιδιȣς διαθρῆσαι. τȣ δε ειποντος, αλλ' ȣδαμȣ γεγραμμενοι εισιν. επι τȣτοις, ειπε, μεγα φρονεῖς, οἷπερ ȣδεν μερος της γης εισιν;

ὁραω, ich sehe.
τυφοω, ich blase auf, 2) mache stolz.
τοπος, Ort.
πιναξ, κος, Tafel, 2) Gemälde, 3) Charte, 4) Schüssel ꝛc.
περιοδος, Weg um eine Sache, 2) Umkreis, 3) Abriß.
Αττικη, Attika.
αναζητεω, ich suche auf.
διαθρεω, ich sehe an, forsche genau nach, von δια, und αθρεω.
ȣδαμȣ, nirgends, von ȣδε, und αμος, einer.
μερος, εος, Theil, 2) Seite, Gegend, von μειρω, ich theile.

Gleich-

Gleichheit der Seele.

Ελεγεν ἡ Ξανθιππη, ὡς μυριων μεταβολῶν την πολιν κατασχȣσῶν, εν πασαις ὁμοιον ην το Σωκρατȣς προσωπον, και προϊοντος εκ της οικιας, και επανιοντος, αει θεασθαι. ἡρμοςο γαρ προς παντα επιεικῶς, και ην ἱλεως αει την διανοιαν και λυπης ὑπερανω πασης, και φοβȣ κρειττων παντος ων.

Μεταβολη, Veränderung, von βαλλω, und μετα.

προσωπον, Angesicht, was um die Augen her ist, 2) Vorderseite jeder Sache, von οπτομαι, ich sehe.

προειμι, ich gehe hervor, επανειμι, ich gehe zurück, von επι, ανα, und εἶμι, ich gehe.

ἁρμοζω, ἁρμοττω, ich füge zusamm, ich schicke mich, von ἁρω, ich mache zu rechte, schicke mich zu Etwas an.

επιεικῶς, schicklich, 2) anständig, 3) mäßig, 4) gelind, von εικω.

ἱλεως, gutmüthig gegen alle, oder ἱλεος, von ἱλαω, ich bin gnädig.

αει, allzeit.

ὑπερανω, weit über Etwas erhaben.

κρεισ-

κρεισσων, κρειττων, ονος, stärker, 2) besser, von κρατος, εος.

Phantome verachtet, und benutzt den Tod.

Της νυκτος ηδη προηκουσης, επανειοι ποτε απο δειπνου Σωκρατης. νεανισκοι γουν ακολαστοι προμαθοντες ενελοχησαν επανιοντα, δαδας εχοντες ἡμμενας, και Ερινυων προσωπα. Εθος δε ην αυτοις, και αλλοις προσπαιζειν δια σχολην, την επι τα χειρω. Ὡς ιδων ὁ Σωκρατης ου διεταραχθη, αλλ' επιστας ηρωτα, οἱα και τους αλλους εν Ακαδημιᾳ. ουτος δε και βαθυτατα γηρῶν, ειτα νοσῳ περιπεσων, επει τις αυτον ηρωτησε, πως εχει; καλως, ειπε, προς αμφοτερα. εαν μεν γαρ ζῶ, ζηλωτας ἑξω πλειονας· ει δε αποθανω, επαινετας πλειονας.

Προηκω, ich gehe hervor, 2) schreite vor.
ακολαστος, der sich nicht strafen läßt, zügellos, 2) unmäßig, von κολαζω, ich strafe, 3) mäßige.
προμανθανω, ich lerne vor, 2) erfahre vor.

λοχαω,

λοχαω, ich stelle nach, von λοχος, eine Cohorte, Krieger, 2) Hinterlist.

δας, δαδος, eine brennende Fackel, von δαιω, ich theile aus, 2) gebe Mahlzeit, 3) gebe Feuer, zünde an, 4) lerne.

ἁπτω, ich knüpfe an, 2) zünde an. Perf. in Pass.

προςπαιζω, ich necke, spiele zu, von παις.

χειρων, ονος, schlimmer, schlechter. χειρω statt χειρονα.

διαταραττω, ich bewege, 2) verwirre, 3) erschrecke.

Ακαδημια, oder Ακαδημεια, Lehrplatz der Sophen in Athen; ein angenehmer Ort von dem Akademus, den Weisheitfreunden geweihet.

βαθυς, εια, υ. tief, schwer, (schildert überhaupt die Vorzüge jeder Sache); also überaus alt.

ζηλωτης, Nacheiferer, von ζηλος, heftiger Eifer, 2) Nachahmung, 3) Neid.

αποθνησκω, ich sterbe, von θανεω.

Xenophon.

Bildung Xenophons, Beruf zur Weltweisheit, Charakter.

Ξενοφων, αιδημων δε, και ευειδεςατος εις ὑπερβολην. τετῳ εν ςενωπῳ Φασιν απαντησαντα Σωκρατην διατεῖναι την βακτηριαν και κωλυειν παριεναι; πυνθανομενον,

μενον, ποῖ πιπρασκοιτο των προσφερομενων ἑκαςον. αποκριναμενȣ δε παλιν πυθεσθαι, πȣ δε καλοι κἀγαθοι γινονται ανθρωποι; απορησαντος δε, ἑπȣ τοινυν, φαναι, και μανθανε, και τȣντεῦθεν ακροατης Σωκρατȣς ἦν. Ανηρ τα τε αλλα γεγονως αγαθος, και δη και φιλιππος, και φιλοκυνηγος. ευσεβης τε και φιλοθυτης και ἱερεια διαγνῶναι ἱκανος, και Σωκρατη ζηλωσας ακριβῶς.

Ξενοφων, οντος, Xenophon.
αιδημων, ονος, schamhaft, 2) sittsam.
ευειδης, wohlgestaltet, von ειδος, εος, Gestalt, und ευ.
ὑπερβολη, Vorzug, von βαλλω, und ὑπερ.
απανταω, ich komme entgegen, von αντι.
βακτηρια, oder βακτρον, Stab, Stock.
πιπρασκω, ich verkaufe, von περαω.
προσφερομενος, zuträglich, brauchbar, gute Waare.
αποκρινομαι, ich antworte, von κρινω, ich unterschreibe, 2) richte.
απορεω, ich befinde mich an einem unwegsamen Orte, 2) bin durstig, 3) gerathe in Verlegenheit (zu antworten).
τοινυν, also, deßwegen.

εντευθεν, von da her, 2) von itzt an, von ενθα, hier.
ακροατης, Hörer, von ακροαομαι, ich höre.
Φιλιππος, Freund der Pferde, von ἵππος, und Φιλος.
Φιλοκυνηγης, Freund der Jagd, von κυων. κυνος, Hund, ἡγετης, Führer, und Φιλος.
Φιλοθυτης, Freund der Opfer, von θυω, ich schlachte, 2) opfere.
διαγινωσκω, ich erkenne genau, 2) entscheide, 3) deute.
ζηλοω, ich eifere nach, von ζηλος.
ακριβῶς, genau, 2) fleißig.

Seine Bücher. Rettung der Werke des Thucydides.

Πρωτος των Φιλοσοφων ἱςοριαν εγραψε. ἐκαλεῖτο δε και Αττικη μȣσα γλυκυτητι της ἑρμηνειας. πρωτον μεν τας ὑποθεσεις των ἱςοριῶν εξελεξατο καλας, και μεγαλοπρεπεῖς, και ανδρι Φιλοσοφῳ προσηκȣσας· την τε Κυρȣ παιδειαν, εικονα βασιλεως αγαθȣ, και ευδαιμονος. και την αναβασιν τȣ νεωτερȣ Κυρȣ, και Λακεδαιμονιων τε και Αθηναιων πολιτειαν και την ελληνι-

κην ἱςοριαν, και τον Ἱερωνα τον τυραννον και τα απομνημονευματα, συμποσιον τε και περι οικονομιας, και Ἱππικης και αλλα πολλα. λεγεται δ' ὁτι τα Θȣκυδιδȣ βιβλια λανθανοντα ὑφελεσθαι δυναμενος, αυτος εις δοξαν ηγαγεν.

Ἱςορια, Eifer was zu erkennen, 2) Geschicht.
αττικος, attisch.
μȣσα, Muse, 2) Gesang, Musik.
γλυκυτης, Süße, Annehmlichkeit, von γλυκυς.
ἑρμηνεια, Auslegung, Vortrag, ἑρμηνευς, εος, Dollmetsch.
ὑποθεσις, εως, das Untersetzen, 2) Stoff.
προςηκω, ich komme überein.
Κυρος, Cyrus.
αναβασις, εως, das Hinaufsteigen, 2) Feldzug, von ανα, und βαινω.
Ιερων, ονος, Jeron.
απομνημονευμα, τος, Denkwürdigkeit, 2) historische Nachrichten, von μναομαι.
ἱππικη (τεχνη) Reutkunst.
Θȣκυδιδης, Thucydides.
βιβλιον, oder βιβλος, Buch.
ὑφαιρεω, Ich nehme geheim weg, 2) unterdrücke. 2. Aor. von ελω.

Mäßige

Mäßige Trauer über den Tod des Sohnes, Werth der Waffenrüstung.

Ξενοφωντι θυοντι ἡκε τις αγγελος, λεγων, τον ὑιον τον Γρυλλον αυτῳ τεθνᾶναι. κᾳκεῖνος απεθετο μεν τον ϛεφανον, διετελει δε θυων. επει δε ὁ αγγελος προσεθηκε και εκεῖνο, ὁτι νικῶν τεθνηκε, παλιν ὁ Ξενοφων επεθετο τον ϛεφανον, ενιοι δε ȣδε δακρῦσαι φασιν αυτον, αλλα γαρ, ειπεῖν, ῃδειν, θνητον γεγεννηκως. Ξενοφωντι και εμελε των αλλων σπȣδαιων, και ȣν και ὁπλα καλα εχειν. νικῶντι γαρ, ελεγε, τȣς πολεμιȣς την καλλιϛην ϛολην ἁρμοττειν, και αποθνησκοντα εν τῃ μαχῃ κεῖσθαι καλως εν καλῃ τῃ πανοπλιᾳ· τῳ γαρ ανδρι τῳ γενναιῳ ταυτ᾽ ειναι τα ενταφια, τα ὡς αληθως κοσμȣ̃ντα αυτον.

Αγγελος, Verkünder, von αγγελλω, ich kündige an.
θνησκω, τεθνημι.

δια-

διατελεω, ich harre bis zum Ende aus.
ενιοι, einige.
ᾔδειν, von ειδω, Plusquamperf.
μελει, es ist zur Sorge.
στολη, Zurüstung zum Kriege, 2) langer Rock, von στελλω.
πανοπλια, Waffenrüstung, von ὁπλον, und πας.
γενναιως, edelgebohren, 2) rechtschaffen ꝛc.
ἐνταφιος, was zur Grabstätte gehöret, 2) Grabschmuck.

Persische Erziehung.

Zweck, Ort des Unterrichts, Eintheilung der Schüler.

Οἱ περσικοι νομοι προλαβοντες επιμελονται, ὁπως την αρχην μη τοιȣ̃τοι εσονται ὁι πολῖται, ὡστε πονηρȣ̃ τινος εργȣ, και αισχρȣ εφιεσθαι. επιμελονται δε ὡδε· εστιν αυτοις ελευθερα αγορα καλȣμενη, ενθα τα τε βασιλεια και τα αλλα αρχεῖα πεποιηται εντευθεν τα μεν ωνια, και ὁι αγοραιοι, και αἱ τȣτων φωναι απεληλανται εις αλλον τοπον, ὡς μη μιγνυηται ἡ τȣτων τυρβη τῃ των πεπαιδευμενων ευκοσμια.

μια. διηρηται δε αυτη ἡ αγορα εις τετταρα μερη. τετων δ' εςιν ἑν μεν παισιν, ἑν δε εφηβοις, αλλο τελειοις ανδρασιν, αλλο τοις ὑπερ τα ςρατευσιμα ετη γεγονοσι.

Περσικος, persisch.
επιμελεομαι, ich sorge, von μελει.
πονηρος, böse, von πενομαι.
εφιεμαι, ich begebe mich hinein, 2) verlange etwas.
ελευθερος, frey.
ωνιος, ein feiles Gut, ωνεομαι, ich kaufe.
αγοραιος, Käufer, von αγορα.
φωνη, Stimme, Ruf, Lärm.
απελαυνω, ich treibe weg, entferne, von ελαυνω.
μιγνυμι, ich mische.
τυρβη, Tumult, Volksgewühl.
ευκοσμια, schöne Ordnung.
διαιρεω, ich zertheile, von αἱρεω.
εφηβος, Jüngling von 19 Jahren, von ἡβη, das mannbare Alter, 2) Göttinn der Jugend.
τελειος, vollkommen, von τελος, εος.
ςρατευσιμος, zum Kriege geschickt, ςρατος, Heer.

Pflicht

Pflicht, und Stunde im Erziehungshause zu erscheinen.

Νομῳ δε εις τας ἑαυτων χωρας ἑκαςοι τȣτων παρεισιν, οἱ μεν παιδες ἁμα τῃ ἡμερᾳ, και οἱ τελειοι ανδρες. οἱ δε γεραιτεροι, ἡνικ᾽αν ἑκαςω προχωρῃ, πλην εν ταις τεταγμεναις ἡμεραις, εν αἱς δεῖ αυτȣς παρεῖναι οἱ/δε εφηβοι και κοιμῶνται περι τα αρχεῖα συν τοις γυμνικοις ὁπλοις πλην των γεγαμηκοτων. ȣτοι δε ȣτε επιζητȣ̃νται, ην μη προρρηθῃ παρεῖναι· ȣτε πολλακις απεῖναι καλον.

Χωρα, ιον, Ort, Platz, 2) Acker, 3) Land.
ἑκαςος, ein jeder.
ἁμα, gleich, zugleich mit, 2) so bald.
τελειος, zu Ende gebracht, 2) volljährig, 3) vollkommen, von τελος.
γεραιος, alt. Die Attiker setzen gern den Komparativ.
ἡνικα, damal, als, wann.
προχώρεω, ich gehe hervor, 2) habe Fortgang.
προχωρει, es gefällt.
κοιμαω, ich mache schlafen, κοιμαομαι, ich schlafe.

αρχειον, Kurie, Pallast, von αρχη.
γυμνικος, gymnastisch, rüstig, was zur Uebung der nackten Kämpfer taugt, von γυμνος.
προῤῥεω, ich sage vorher, von ῥεω.

Auswahl der Lehrer für jedes Alter.

Αρχοντες δε εφ᾽ ἑκαςῳ τϐτων των μερων εισι δωδεκα (δωδεκα γαρ και περσων φυλαι διῃρηνται) και επι μεν τοις παισιν εκ των γεραιτερων ᾑρημενοι εισιν, ὁι αν δοκῶσι τϐς παιδας βελτιςϐς αποδεικνῦναι. επι δε τοις εφηβοις, εκ των τελειων ανδρων, οἱ αν αυτϐς τϐς εφηβϐς βελτιςϐς δοκῶσι παρεχειν· επι δε τοις τελειοις ανδρασιν, οἱ αν δοκῶσι παρεχειν αυτϐς μαλιςα τα τεταγμενα ποιϐντας, και τα παραγγελλομενα ὑπο της μεγιςης αρχης. εισιν δε και των γεραιτερων προςαται ᾑρημενοι, οἱ προστατευϐσιν, ὁπως και αυτοι τα καθηκοντα αποτελῶσιν.

Δωδεκα, oder δυοκαιδεκα, zwölf, von δεκα, zehn, und δυο, zwey.
διαιρεω, ich theile, zerschneide, von αιρεω.

προσ-

Bayerische Staatsbibliothek München

προστατευω, oder προστατιω, ich stelle hinzu 2) trage einem was auf, befehle.
προστατης. Befehler, 2) Aufseher.
διατελεω, ich bringe zu Ende, vollziehe.

Tugendstudium.

Ἁ δε ἑκαςῃ ἡλικια προστετακται ποιεῖν, διηγησομεθα, ὡς μαλλον δηλον γενηται, ἡ επιμελονται, ὡς αν βελτιςοι ειεν ὁι πολιται. ὁι μεν δε παιδες εις τα διδακαλεια Φοιτῶντες, διαγȣτι μανθανοντες δικαιοσυνην, και λεγȣσιν, ὁτι επι τȣτο ερχονται, ὡςπερ παρ᾽ ἡμιν ὁι τα γραμματα μαθησομενοι. ὁι δε αρχοντες αυτων διατελȣ͂σι το πλεῖςον μερος της ἡμερας δικαζοντες αυτοις. γιγνεται γαρ δη και παισι προς αλληλȣς, ὡςπερ ανδρασιν, εγκληματα και κλοπης και ἁρπαγης και βιας, και απατης, και κακολογιας, και αλλων οἱων εικος. ȣ̔ς δ᾽ αν γνῶσι τȣτων τι αδικȣ͂ντας, τιμωρȣ͂νται. κολαζȣσι δε και ȣ̔ς αν αδικως εγκαλȣ͂ντας ἑυρισκωσι· δικαζȣσι δε και εγκληματος, ȣ̔ ἑνεκα ανθρωποι μισȣσι μεν αλληλȣς μαλιςα, δικαζονται δε ἡκιςα, αχαριςιας· και ὁν αν γνῶσι δυναμενον μεν χαριν αποδιδοναι, μη αποδιδοντα δε,

 κολα-

κολαζουσι δε τουτον ισχυρῶς. οιονται γαρ τους αχαριστους, και περι Θεους αν μαλιστα αμελῶς εχειν, και περι γονεας, και πατριδα, και φιλους. ἑπεσθαι δε δοκεῖ μαλιστα τῃ αχαριστιᾳ ἡ αναισχυντια. και γαρ ἁυτη μεγιστη δοκεῖ ειναι επι παντα τα αισχρα ἡγεμων.

Ἡλικια, Statur, 2) jedes Alter.
διηγεομαι, ich führe es durch, 2) erzähle.
μαλα, sehr.
δηλος, scheinbar.
βελτιστος, von αγαθος.
διδασκαλειον, Schule, von διδασκω.
φοιταω, ich gehe oft, besuche.
δικαζω, ich richte, von δικη.
εγκλημα, τος, Anklage von καλεω.
κλοπη, oder κλεπος, εος, Diebstahl, von κλεπτω, ich stehle.
ἁρπαγη, Raub, von ἁρπαζω, ich raube.
ὁιος, welcher.
εικος, von εικως, οτος, wahrscheinlich, 2) schicklich, 3) billig, gerecht.
τιμωρεω, ich räche, 2) strafe, von τιω.
μισεω, ich hasse, von μισος εος, Haß.
αχαριστια, Undank, von χαρις, ιτος.
οιομαι, ich glaube.
αμελως, sorglos, von μελει.

αναισ-

αναισχυντια, Ausgeschämtheit, von αισχος, εος.

Macht des Beyspiels, Mäßigkeit, Gehorsam, Körperübung.

Διδασκȣσι δε τȣς παιδας και σωφροσυνην. μεγα δε συμβαλλεται εις το μανθανειν σωφρονεῖν αυτȣς, ὁτι και τȣς πρεσβυτερȣς ὁρωσιν ανα πασαν ἡμεραν σωφρονως διαγοντας· διδασκȣσι δε αυτȣς, και πειθεσθαι τοις αρχȣσι· μεγα δε και εις τȣτο συμβαλλεται, ὁτι ὁρωσι και τȣς πρεσβυτερȣς πειθομενȣς τοις αρχȣσιν ισχυρῶς. διδασκȣσι δε και εγκρατεῖς ειναι γαςρος και ποτȣ. μεγα δε και εις τȣτο συμβαλλεται, ὁτι ὁρωσι και τȣς πρεσβυτερȣς ȣ προσθεν απιοντας γαςρος ἑνεκα, πριν αν αφῶσιν ὁι αρχοντες· και ὁτι ȣ παρα μητρι σιτȣ͂νται ὁι παιδες, αλλα παρα τῳ διδασκαλῳ, ὁταν ὁι αρχοντες σημηνωσι. Φερονται και οικοθεν σιτον μεν, αρτον· οψον δε, καρδαμον· πιεῖν δε, ην τις διψῇ, κωθωνα, ὡς απο τȣ ποταμȣ αρυσασθαι. προς δε τȣτοις μανθανȣσι τοξευειν, και ακοντιζειν·

μεχρι μεν δη ἑξ η ἑπτακαιδεκα ετων απο γενεας ὁι παιδες ταυτα πραττουσιν· εκ τουτου δε εις τους εφηβους εξερχονται.

σνμβαλλομαι, ich errathe, 2) trage bey, 3) helfe.

εγκρατης, εος, der etwas in seiner Gewalt hat, 2) mäßig, von κρατης.

γαστηρ, ερος, Bauch, 2) Magen, 2) Eßlust.

σιτεω, ich ernähre, 2) speise, von σιτος.

σημαινω, ich gebe das Zeichen, 2) befehle, von σημα, τος.

καρδαμος, Kresse. Die Alten assen dieses Kraut roh.

διψαω, ich dürste, von διψη, Durst.

κωθων, ωνος, Becher.

ποταμος, Fluß, 2) Gewässer.

αρυω, ich schöpfe.

τοξευω, ich schieße mit dem Bogen, von τοξον, Bogen.

ακοντιζω, ich werfe den Spies, von ακων, οντος, oder ακοντιον, Spies.

εξερχομαι, ich gehe heraus, 2) komme.

Besondere Sorge für das Jünglingsalter, Jagdübung.

Ὁυτοι δε αυ ὁι εφηβοι διαγουσιν ὡδεδεκα ετη, αφ' ὁυ αν εκ παιδων εξελθωσι,

κοι

κοιμῶνται μεν περι τα αρχεῖα και φυλακης ἑνεκα της πολεως, και σωφροσυνης. δοκει γαρ αυτη ἡ ἡλικια μαλιϛα επιμελειας δεῖσθαι. παρεχȣσι δε και την ἡμεραν ἑαυτȣς μαλιϛα τοις αρχȣσι χρῆσθαι, ην τι δεωνται ὑπερ τȣ κοινȣ. και ὁταν μεν δεῃ, παντες μενȣσι περι τα αρχεῖα. ὁταν δε βασιλευς εξιῃ επι θηραν, εξαγει την ἡμισειαν της φυλακης. ποιεῖ δε τȣτο πολλακις τȣ μηνος. Εχειν δε δεῖ τȣς εξιοντας, τοξα παρα την φαρετραν, και εν κολεῷ κοπιδα, η σαγαριν· ετι δε και γερρον, και παλτα δυο, ὡϛε το μεν αφιεναι, τῳ δ᾽ αν δεῃ, εκ χειρος χρῆσθαι.

φυλακη, Wache, von φυλασσω, ich bewache, schütze.
παρεχω, ich gewähre, gebe mich hin, 2) verursache.
κοινον, Staat, von κοινος, gemein.
μενω, ich bleibe, 2) warte.
εξειμι, ich gehe heraus.
θηρα, Jagd, θηρ, ος, ein wildes Thier.
εξαγω, ich führe hinaus.
ἡμισυς, εια, υ, halb.
μην, ος, Monat.
κολεος, Scheide.

κοπις,

κοπις, δος, ein kleiner Säbel, von κοπτω ich haue ꝛc.
σαγαρις, δος, Streitaxt.
γεῤῥον, Perserschild, aus Reisern geflochten.
παλτα, Wurfspieß, Lanze, von παλλω, ich schwinge, schüttle.

Nutzen der Jagd.

Δια τȣτο δε δημοσιᾳ τȣ θηρᾶν επιμελονται, και βασιλευς, ὥσπερ και εν πολεμῳ, ἡγεμων αυτοις εστι, και αυτος δε θηρᾷ, και των αλλων επιμελεῖται, ὁπως αν θηρωεν, ὁτι αληθεστατη δοκεῖ ἁυτη ἡ μελετη των προς τον πολεμον ειναι. και γαρ πρωϊ ανιστασθαι εθιζει και ψυχη και θαλπη ανεχεσθαι, γυμναζει δε και ὁδοιποριαις, και δρομοις. αναγκη δε και τοξευσαι θηριον, και ακοντισαι, ὁπȣ αν παραπιπτῃ. και την ψυχην δε πολλακις αναγκη θηγεσθαι εν τῃ θηρᾳ, ὁταν τι των αλκιμων θηριων ανθιστῆται. παιειν μεν γαρ δεῖ το ὁμοσε γίγνομενον, Φυλαξασθαι δε το επιΦερομενον· ὥστε ȣ ῥαδιον ἑυρειν τι εν τῃ θηρᾳ απεστι των εν πολεμῳ παρόντων.

Δημο-

Δημοσια, öffentlich, von δημος, Volk, δημοσια (χωρα oder βȣλη) Ellyps.
θηραω, ich jage.
αληθης, εος, wahr, 2) geschickt.
πρωϊ früh, mit Anbruch des Tages.
ανιςημι ich richte mich auf, 2) stehe auf.
εθιζω, ich gewöhne.
ψυχος, εος, Kälte, Frost.
θαλπος, εος, Wärme, von θαλπω, ich wärme, erhitze.
ὁδοιπορια, Reise, Zug, von ὁδος, und πορεω.
δρομος, Lauf, von τρεχω.
θηγω, ich schärfe, 2) reize an, 3) ermahne.
παραπιπτω, ich falle nahe, 2) stürze herein.
αλκιμος, stark, von αλκη, Stärke, 2) Vorzug in jeder Rücksicht.
ὁμοσε, zusamm, an einem Orte, 2) handgemein.

Enthaltsamkeit, Hunger würzet das Mahl.

Εξερχονται δε επι την θηραν, αριςον εχοντες πλειον μεν, ὡς το εικος, των παιδων, τ'αλλα δε ὁμοιον και θηρῶντες μεν ȣκ αν αριςησαιεν· ην δε τι δεη θηριȣ ἑνεκα

κα επικαταμεῖναι, η αλλως βȣληθῶσι διατριψαι περι την θηραν, το αριςον τȣτο δειπνησαντες, την ὑςεραιαν αυ θηρῶσι μεχρι δειπνȣ· και μιαν αμφω ταυτας τας ἡμερας λογιζονται, ὁτι μιας ἡμερας σιτον δαπανῶσι. τȣτο δε ποιȣσι, τȣ εθιζεσθαι ἑνεκα, ἱνα και, εαν τι εν πολεμῳ δεησῃ, δυνωνται τȣτο ποιεῖν. και οψον δε τȣτο εχȣσιν ὁι τηλικȣτοι ὁ, τι αν θηρασωσιν· ει δε μη, το καρδαμον. ει δε τις αυτȣς οιεται η εσθιειν αηδως, ὁταν καρδαμον μονον εχωσιν επι τῳ σιτῳ, η πινειν αηδως, ὁταν ὑδωρ πινωσιν, αναμνησθητω, πως μεν ἡδυ μαζα και αρτος πεινῶντι φαγειν, πως δε ἡδυ ὑδωρ διψῶντι πιεῖν.

Αριςον, Morgenbrod, auch 2) Mittagmahl.
αριςαω, Ich halte Mahlzeit, speise am Morgen, oder Mittag.
επικαταμενω, ich bleibe lange zurück.
δειπνεω, ich nehme das Nachtmahl, von δειπνος, Nachtmahl; auch 2) jedes Mahl.
αυ wieder, zurück, 2) im Gegentheil.
λογιζομαι, ich betrachte, 2) halte für, 3) berechne.
δαπαναω, ich wende daran, 2) zehre auf.
τηλικȣτος, so groß, so alt, von ἡλικος, wie groß.

πηλικος; wie groß?
αηδος, unsanft, 2) unschmackhaft.
αναμιμνησκω, oder αναμναομαι, ich erinnere mich.
μαζα, Teig aus Mehl mit Wasser, Milch, oder Oel, 2) Brei, Kuchen.
πεινaω, ich hungere, von πεινα, Hunger.
Φαγω, ich esse.
διψαω, ich dürste, von διψη, Durst.

Wiederholter Jugendunterricht, Vorzug des öffentlichen Kämpfers, Vertheidigung der Heimath.

Ἁι δε αυ μενȣσαι Φυλαι διατριβȣσι μελετωσαι τα τε αλλα, ἁ παιδες οντες εμαθον, και τοξευειν, και ακοντιζειν· και διαγωνιζομενοι ταυτα προς αλληλȣς διατελȣ͂σιν. εισι δε και δημοσιοι τȣτων αγωνες, και αθλα προτιθεται. εν ᾗ δ᾽ αν των Φυλων πλεισοι ωσι δαημονεςατοι, και ανδρικωτατοι, και ευπειςοτατοι, επαινȣσιν ὁι πολῖται, και τιμῶσιν ȣ μονον τον νυν αρχοντα αυτων, αλλ᾽ και ὁςις αυτȣς παιδας οντας επαιδευσε. χρῶνται δε τοις μενȣσι των εφηβων ἁι αρχαι, ἡν τι η Φρȣρησαι

σαι δεησῃ η κακουργους ερευνησαι, η λῃστας ὑποδραμειν, η και αλλο τι ὁσα ισχυος, η ταχους εργα εστι. ταυτα μεν δη ὁι εφηβοι πραττουσιν. επειδαν δε τα δεκα ετη διατελεσωσιν, εξερχονται εις τους τελειους ανδρας.

Αγων, ωνος, Kampf, 2) Verdruß, 3) Gefahr.
προτιθημι, ich setze vor.
δαημων, ονος, kündig, 2) geschickt, von δαιω.
ανδρικος, mannbar, 2) tapfer, von ανηρ.
ευπειστος, gehorsam, von πειθω.
κακουργος, Bösewicht, von κακος, und εργον.
ερευναω, ich spüre auf, suche nach.
Λῃστης, oder Ληιστης, Mörder, Räuber, von λεια, Beute.
ὑποτρεχω, ich laufe heimlich unter was hin, 2) verfolge.
ιχυς, υος, Stärke, 2) Macht.
ταχυς, εος, Geschwindigkeit.

Pflich-

Pflichten der Månner, Waffenrüstung, Würdenverwaltung.

Αφ' ου δ' αν εξελθωσι χρονου εκ των εφηβων, ουτοι αυ πεντε και εικοσιν ετη διαγουσιν ὡδε. πρωτον μεν, ὡσπερ ὁι εφηβοι, παρεχουσιν ἑαυτους ταις αρχαις χρησθαι. ην τι δεῃ περι του κοινου, ὁσα σωφρονουντων τε ηδη εργα εστι, και ετι δυναμενων. ην δε που δεησῃ στρατευεσθαι, τοξα μεν ὁι ουτω πεπαιδευμενοι ουκετι εχοντες ουδε παλτα, στρατευονται, θωρακα τε περι τοις στερνοις, και γερρον εν τῃ αριστερᾳ, οἱον παραγραφονται ὁι Περσαι εχοντες· εν δε τῃ δεξιᾳ μαχαιραν η κοπιδα. και ἁι αρχαι πασαι εκ τουτων καθιστανται, πλην ὁι των παιδων διδασκαλοι· επειδαν δε τα πεντε, και εικοσιν ετη διατελεσωσιν, ειησαν μεν αν ουτοι πλειον τι η πεντηκοντα ετη γεγονοτες απο γενεας. εξερχονται δε τηνικαυτα εις τους γεραιτερους οντας τε, και καλουμενους.

Εικοσι, zwanzig.
σωφρονεω, ich denke reif, 2) bin vernünftig, lebe unbescholten.

ουκετι, nicht mehr.
στερνον, Brust.
δεξια, die Rechte (χειρ, ος)
μαχαιρα, Schwert, 2) Messer, von μαχομαι, ich kämpfe.
πεντηκοντα, fünfzig.
γενεα, Geburt, Geschlecht.

Weise Richter, Kläger, und Strafe des Beklagten.

Ὁι δε αυ γεραιτεροι ὁυτοι στρατευονται μεν ουκετι εξω της ἑαυτων, οικοι δε μενοντες δικαζουσι τα τε κοινα παντα, και τα ιδια. και θανατου δε ὁυτοι κρινουσι, και τας αρχας ὁυτοι πασας ἁιρουνται. και ην τις, η εν εφηβοις, η εν τελειοις ανδρασιν, ελλιπη τι των νομιμων, Φαινουσι μεν ὁι Φυλαρχοι ἑκαστον, και των αλλων ὁ βουλομενος. ὁι δε γεραιτεροι ακουσαντες εκκρινουσιν. ὁ δε εκκριθεις, ατιμος τον λοιπον βιον διατελει.

Νομιμος, gesetzmäßig, von νομος.
Φαινω, ich bringe an das Licht, 2) zeige, klage an.
Φυλαρχος, Zunftführer.

εκκρινω,

εκκρινω, ich sondere aus, 2) entsetze einer Würde, 3) verbanne aus einem Rang, von κρινω, unterscheide, 2) richte.

Vorrechte der öffentlichen Erziehung.

Ινα δε σαφεςερον δηλωθῃ πασα ἡ περσων πολιτεια, μικρον επανειμι. νυν γαρ εν βραχυτατῳ αν δηλωθειη, δια τα προειρημενα. λεγονται μεν γαρ Περσαι αμφι τας δωδεκα μυριαδας ειναι. τȣτων δε ȣδεις απεληλαται νομῳ τιμων και αρχων, αλλ᾽ εξεςι πασι Περσαις πεμπειν τȣς ἑαυτων παιδας εις τα κοινα της δικαιοσυνης διδασκαλεια. αλλ᾽ ὁι μεν δυναμενοι τρεφειν τȣς παιδας αργȣ̃ντας, πεμπȣσιν ὁι δε μη δυναμενοι ȣ πεμπȣσιν. ὁι δ᾽αν παιδευθωσι παρα τοις δημοσιοις διδασκαλοις, εξεςιν αυτοις εν τοις εφηβοις νεανισκευεσθαι· τοις δε μη διαπαιδευθεισιν ȣ̔τως, ȣκ εξεςιν. ὁι δ᾽αν εν τοις εφηβοις διατελεσωσι τα νομιμα ποιȣ̃ντες εξεςι τȣτοις εις τȣς τελειȣς ανδρας συναλιζεσθαι, και αρχων και τιμων μετεχειν. ὁι δ᾽αν αυ εν τοις παισι μη διατε-

τελεσωσιν, η εν τοις εφηβοις, ουκ εισερχονται εις τους τελειους. οἱ δ' αν αυ εν τοις τελειοις διαγενωνται ανεπιληπτοι, οὗτοι των γεραιτερων γινονται. οὕτω μεν δη οἱ γεραιτεροι δια παντων των καλων εληλυθοτες καθιςανται. και ἡ πολιτεια αυτη, ᾗ οιονται χρωμενοι βελτιςοι αν ειναι. ταυτα μεν δη κατα της των Περσων παιδειας εχομεν λεγειν.

Σαφης, εος, offenbar, deutlich.
επανειμι, ich gehe zurück.
προερεω, ich sage vorher.
αμφι, ohngefähr, um, wegen, mit, zu.
μυριας, δος, Zahl von 10000.
αργεω, αεργεω, ich verdiene das Brod nicht durch Arbeit, 2) bin müßig.
συναλιζω, ich versammle, von ἅλις, genug.
ανεπιληπτος, untadelhaft, der nicht ergriffen werden kann, von λαμβανω.

Ari=

Aristippus.

Zufriedenheit mit dem Wechsel des Glückes, Umgang, Weltweisheit, unschuldiger Genuß der Glücksgüter.

Αριϛιππος ἱκανος ἦν ἁρμοσασθαι και τοπῳ και χρονῳ και προσωπῳ· διο ποτε Πλατωνα προς αυτον ειπειν, σοι μονῳ δεδοται και χλαμιδα φορεῖν, και ῥακος. παριοντα ποτε αυτον λαχανα πλυνων Διογενης εσκωψε, και φησιν, ει ταυτα εμαθες προσφερεσθαι, ουκ αν τυραννων αυλας εθεραπευες. ὁ δε, και συ, ειπεν, ειπερ ηδεις ανθρωποις ὁμιλεῖν, ουκ αν λαχανα επλυνες. ερωτηθεις τι αυτῳ περιγεγονεν εκ φιλοσοφιας, εφη, το δυνασθαι πασι θαῤῥουντῶς ὁμιλεῖν. ονειδιζομενος ποτ', επι τῳ πολυτελῶς ζῆν, ει τουτ', εφη, φαυλον εϛιν, ουκ αν εν ταις των θεων ἑορταις εγινετο. ερωτηθεις, τι πλεον εχουσιν οι φιλοσοφοι; εφη, εαν παντες οι νομοι αναιρεθωσιν, ὁμοιως βιωσομεν.

προσωπον, was um die Augen herum ist, 2) Gesicht, 3) Person.

χλαμυς,

χλαμυς. δος, Oberkleid, das der Führer von Purpur, mit Gold gestickt, trug; auch überhaupt, 2) jedes gemeinen Kriegers.
ῥακος, εος, zerrissenes Gewand, von ῥησσω, ῥηγνυω, ῥηγνυμι, ich zerreiße.
λαχανον, Kohl, Kraut, von λαχαινω, ich grabe um.
πλυνω, ich wasche, 2) schelte jemand.
Διογενης, Diogenes.
αυλα, Ort unter freyem Himmel, 2) Vorhof, 3) Stall, 4) Pallast.
θεραπευω, ich bin Sklav, 2) verehre, 3) mache gesund, von Θεραπων, οντος, Sklav.
περιγινομαι, ich bleibe übrig.

Vorzug des Zöglings, Lektür.

Ερωτηθεις, τινι διαφερȣσιν ὁι πεπαιδευμενοι των απαιδευτων; εφη, ὡπερ ὁι δεδαμασμενοι ἱπποι των αδαμαςων. αμεινον εφη επαιτην η απαιδευτον ειναι· ὁι μεν γαρ χρηματων, ὁι δε ανθρωπισμȣ δεονται. Ερωτηθεις ὑπο τινος τι αυτȣ ὁ ὑιος αμεινων εςαι παιδευθεις; και ει μηδεν αλλο, ειπεν, εν γȣν τῳ θεατρῳ ȣ καθεδησεται λιθος επι λιθῳ. συνιςαντος τινος αυτῳ ὑιον, ητησε πεντακοσιας δραχμας.

τε δε ειπόντος, τοσετε δυναμαι ανδραποδον ωνησασθαι· πριῶ, εφη, και ἕξεις δυο. σεμνυνομενε τινος επι πολυμαθιᾳ, εφη, ὥσπερ εχ οἱ τα πλειςα εσθιοντες ὑγιαινεσι μαλλόν τών τα δεοντα προσφερεμενων; ἑτως εχ οἱ πολλα, αλλ οἱ χρησιμα αναγινωσκοντες εισι σπεδαῖοι.

Διαφερω, ich trage von einander, 2) trenne mich, 3) bin unterschieden.
δαμαζω, δαμαω, ich bändige, αδαμαςος, unbezwungen.
ἱππος, Pferd.
αμεινών, ονος, besser.
επαιτης, Bettler, επαιτεω, ich bettle, von αιτεω.
ανθρωπισμος, Menschlichkeit.
θεατρον, Schauplatz, von θεαομαι.
πεντακοσιοι, αι, α, fünfhundert, von πεντε.
δραχμα, ein 4 Groschen Stück.
ανδραποδον, ε, Fuß des Menschen, 2) Sklave, von ανηρ, und πες.
σεμνυνομαι, ich mache mich ehrwürdig, 2) prale.
πολυμαθια, Vielwisserey.
ὑγιαινω, ich bin gesund, von ὑγιης.
προσφερομαι, ich trage mich hinzu, gehe, 2) betrage mich, 3) trage zum Mund, genieße.

χρησιμος, was man gebrauchen kann, nütz-
lich, gut.

Eitler Stolz, Furcht des Philosophen, Lohn des Arbeiters, Geldverachtung.

Αυχᾶντος τινος επι τῳ κολυμβᾶν, ουκ αισχυνῃ, ειπεν, επι δελφινος εργοις αλαζονευομενος; πλεων ποτε, χειμωνος επιγενομενου, πανυ σφοδρα εταραττετο. εφη δη τις τον συμπλεοντων· ω Αριςιππε, και συ δεδοικας, ὡς ὁι πολλοι; ὁ δε, και μαλα γε εικοτως· ὑμιν μεν γαρ περι κακοδαιμονος εςι βιου ἡ σπουδη, και ὁ νυν κινδυνος, εμοι δε περι ευδαιμονος. προς τον αιτιωμενον, ὁτι Σωκρατους μαθητης ων αργυριον λαμβανει, και μαλα, ειπε. και γαρ Σωκρατη, πεμποντων αυτῳ τινων και σιτον και οινον, ολιγα λαμβανοντα, τα λοιπα αποπεμπειν· ειχε γαρ ταμιας τους πρωτους Αθηναιων, εγω δε Ευτυχιδην αργυρωνητον. του θεραποντος εν ὁδῳ βαςαζοντος αργυριον, και βαρυνομενου· αποχεε,

εφη,

εφη, το πλεον, και, ὁσον δυνασαι, βαςαζε.

Αυχεω, ich prale.
κολυμβαω, ich schwimme.
αισχυνομαι, ich schäme mich, von αισχος, εος.
Δελφιν, oder Δελφις, ινος, Delphin, ein Meerthier.
αλαζονευομαι, ich prale, von αλαζων, ονος, Praler.
ταραττομαι, ich werde bewegt, 2) erschreckt.
δεδοικα, von δειδω.
και μαλα γε εικωτος, und zwar mit beßtem Rechte.
